serenum sit? An quòd & flatus, & perturbationis causa Solis vis est. Iststæc enim motu aecito quodam oriuntur. Calor igitur causa est: ob eámq. rem cùm is adest quiescunt omnia, & Sole abeunte magis, quàm veniente, &, quod dici solet,

*Nauibus hyberno ventos dat terra secundos,*
*Tūc mare fert sæuos: calidi sed mēsibus anni,*
*Terra dabit sæuos, pōti feret vnda secundos.*

Hoc sibi vult, quòd vbi motus maximus est, ibi minimè quicquam vel seruari, vel consistere potest: æquabili nanque statu, viribúsque efficacioribus esse id debet, quod consistendum, conseruandúmq. sit. Mare autem hybernis temporibus, terra æstiuis sæuire illum in modum solita est.

8 Quam ob causam humor pleno contentus in dolio, diffusus in vtres, non solùm cū vtribus recipi ab eodē dolio possit, sed etiam locum relinquere, quo etiam plus humoris capiatur? An quoniam aer in humore inest, qui dum in dolio est, excerni propter dolij magnitudinem non potest: fit enim vt exprimi de maiori vel humor, vel spiritus difficilius possit: quemadmodum etiam de spongiis amplioribus minus exprimitur. At cùm in parua digeritur, extrudi iam de vtribus expeditius potest. Itaque dolium, & vtres, & humorē etiam alium capit, magísque in vino id accidit, quia plus in vino aeris inest, quàm in aqua. Huic sanè proximum cineris, & aquæ tantundem simul vas idem capere posse, quātum plurimum vtriusq. seorsum infusi capiat. Cineris enim complura caua, & inania esse videntur, quibus aqua sese insinuat, vt quę tenuior sit: & constipat vero, spissátque arctissimè, quoniam particulatim constipatio agitur. Densantur enim adductantúrq. omnia plenius, cùm paulatim cōstipātur, quàm cùm vniuersa: quod cùm ita fiat, cinis collabitur, & subsidet, simúlque humorem in se per cauorū suorū opportunitatē admittit. At si cinis, qui in aquam immittitur, calidus est, aquam dirimit, vertítq. in aerē. Idē illud agetur etiam, si primū aqua infundatur, pòst cinis iniiciatur: vnde aquā etiā ipsam caua quędā, & hiantia in se continere putaueris. An non aqua cinerem sibi admittat: sed cinis aquam. Quod enim tenuius est, subire id posse congruum est. Constat item experimēto: cùm enim cinis inspergitur, eòdem reliqua aqua confluit, quo loco inspersum est. Cuius contrarium certè fieri debuit, si aqua cineris esset capiens. An si prius aqua vas ex toto impleuerit, nihil præterea capiet, sed addito quolibet effundetur.

A ἢ μεθ' ἡμέραν; ἢ καὶ τοῦ πνεύματος καὶ τῆς ταραχῆς ὁ ἥλιος αἴτιος; ταῦτα γὰρ κινήσεώς τινος γινομένης, συμβαίνει γίνεσθαι. αἴτιον τοίνυν τὸ θερμόν. ὅταν οὖν τοῦτο μὴ παρῇ, ἠρεμεῖ τὸ πᾶν, καὶ αἰρομένου τοῦ ἡλίου μᾶλλον, ἢ τοὐναντίον· καὶ τό, Μήποτ' ἀπ' ἠπείρου, τοῦτ' ἐστὶν ὅτι οὗ πλείστη κίνησις, ἐκεῖ ἥκιστα ἄν τι μένοι καὶ συσταίη, μὴ ὁμαλοῦ ὄντος καὶ κρατοῦντος τοῦ συνισταμένου. τοῦ μὲν δὴ χειμῶνος, B ἡ θάλασσα τοιοῦτον· τοῦ δὲ θέρους, ἡ γῆ.

η Διὰ τί ὅταν διαχυθῇ τὸ ὑγρὸν εἰς ἀσκούς, οὐ μόνον τὸ ὑγρὸν δέχεται ὁ πίθος μετὰ τῶν ἀσκῶν, ἀλλὰ καὶ ἄλλο προσλαμβάνει; ἢ ὅτι ἐν τῷ ὑγρῷ ἐνυπάρχει ὁ ἀήρ; τοῦτον οὖν ὅταν μὴ ἐν τῷ πίθῳ ἐνῇ, οὐ δύναται ἐκκρίνεσθαι, διὰ τὸ μέγεθος τοῦ πίθου. ἐκ γὰρ τοῦ μείζονος, χαλεπώτερον ἐκθλίψαι ὁποιοῦν C [καὶ] ὑγρὸν καὶ πνεῦμα, ὥσπερ καὶ ἐκ τῶν σπόγγων. ὅταν δὲ μερίζηται εἰς μικρά, ἐκθλίβεται ἐκ τοῦ ἀσκοῦ μετὰ τοῦ ἐνόντος. ὥσθ' ἡ τοῦ ἀέρος χώρα κενὴ γίνεται. δι' ὃ καὶ σὺν ἀσκοῖς, καὶ ἔτι ἄλλο ὑγρὸν δέχεται ὁ πίθος. καὶ μᾶλλον ἐπὶ τοῦ οἴνου τοῦτο γίνεται, ὅτι πλείων ὁ ἀὴρ ἐν τῷ οἴνῳ ἔνεστιν, ἢ ἐν τῷ ὕδατι. ὅμοιον δὲ τούτῳ, καὶ τὸ ταὐτὸ ἀγγεῖον D τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον. ἔοικε γὰρ πολλὰ εἶναι τὰ διάκενα τῆς τέφρας. ἅτε οὖν λεπτότερον τὸ ὕδωρ, διαδύνει μᾶλλον καὶ συσάττει ἤδη ὥστε πυκνοῦσθαι· καὶ διὰ τὸ παρ' ἕκαστον τῶν μερῶν εἶναι τὴν σάξιν· (μᾶλλον γὰρ σάττεται κατὰ μικρὸν σαττόμενον ἅπαν, ἢ ἀθρόον) τούτου δὲ γινομένου, ὑποκαταβαίνειν E τὴν κονίαν· ἅμα δὲ καὶ ἡ τέφρα εἰς αὐτὴν δέχεται τὸ ὑγρόν, διὰ τὸ ἔχειν κοιλίας. ἡ δὲ βαλλομένη τέφρα εἰς τὸ ὕδωρ, θερμὴ οὖσα, τέμνει αὐτὸ καὶ ἐξαεροῖ. καὶ πρότερον δὲ ὕδατος ἐγχυθέντος καὶ ὕστερον κονίας ἐμπιπλούσης, τὸ αὐτὸ γίνεται. ὥστε καὶ τὸ ὕδωρ ἔχοι ἂν κοιλίας καὶ διάκενα αὐτὸ ἐν αὑτῷ. ἢ οὐ τὸ ὕδωρ τὸ δεχόμενον τὴν κονίαν, ἀλλ' ἡ κονία F τὸ ὕδωρ; τὸ γὰρ λεπτομερέστερον εἰκὸς εἶναι τὸ εἰσιόν. ἔτι καὶ ἐκ τῆς πείρας δῆλον. ὅταν γὰρ ἐπιπάττηται ἡ τέφρα, καθ' ὃν ἂν τόπον ἐπιπάττηται, εἰς τοῦτον συρρεῖ τὸ ἄλλο ὕδωρ. ἔδει δὲ τὸ ἐναντίον, εἴπερ ἦν τὸ ὕδωρ δεχόμενον. ἢ οὐ συμβαίνει τοῦτο, ἐὰν πρότερον ἐγχυθῇ τὸ ὕδωρ, καὶ σφόδρα διαμασῶσιν· ἀλλ'